# TEZAUR LITURGIC

## 21 OCTOMBRIE
## +IOIL FRAGKAKOS, MITROPOLITUL EDESSEI

# SLUJBA SF.IERARH ILARION, EPISCOPUL MEGLENEI BULGARIEI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# 21 ΟΚΤΩΒΡΙΟΣ
# ΙΛΑΡΙΩΝ ΜΟΓΛΕΝΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Μητροπολίτου Εδέσσης Ιωήλ Φραγκάκου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ'. Πανεύφημοι Μάρτυρες.

Φωτὶ Ἱλαρίων αὐγασθείς, τοῦ Χριστοῦ τὰ δόγματα, ἐν Μογλενοῖς ὑπερήσπισας, καὶ τὸν δυσώνυμον, Βογομίλων ὄχλον, ὡς ποιμὴν πανάριστος, πρὸς τὴν ἀληθινὴν ἐπανήγαγες, σοφοῖς σου ῥήμασι, θείαν μάνδραν ἀξιάγαστε, τοῦ Κυρίου σκεδάσας τὴν αἵρεσιν.

Τῶν γεννητόρων τὴν εὐχήν, ὁ Χριστὸς ἐπήκουσε, καὶ ὡς φιλάγαθος ἔδωκε, κοιλίας κάρπωμα, τῇ εὐλαβεστάτῃ, Ἱεράρχα Ὅσιε, μητρί σου θεραπεύσας τὴν στείρωσιν· διὸ ἐκάλεσεν, Ἱλαρίωνα τὴν κλῆσίν σου, εἰς ἀγάπης τοῦ Κτίστου ἀντέκτισιν.

Τοῦ θρόνου λαχὼν τῶν Μογλενῶν, Ἱλαρίων Ὅσιε, θεοφιλῶς πρὸς τὰ κρείττονα, Χριστοῦ τὸ ποίμνιον, τοῖς σοῖς θείοις τρόποις, καὶ τοῖς λόγοις ἤγαγες, ποιμένος τοῦ καλοῦ ἁγιώτατε, λιπὼν τὸ πρότυπον· διὸ ἔχων πρὸς τὸν Κύριον, παῤῥησίαν ἡμᾶς διαφύλαττε.

Σημεῖα καὶ θαύματα πολλά, Χριστοῦ θείᾳ χάριτι, ἐπιτελεῖς μετὰ θάνατον, ἀξιοτίμητε, ἐν τῷ Κοινοβίῳ, τῶν Προμάχων Ἅγιε, στηρίζων πατρικῶς τοὺς

μονάζοντας, λαὸν καὶ ἅπαντας, τοὺς ἐν πίστει ἐξαιτοῦντάς σου, Ἱλαρίων, πρεσβείαν τὴν ἄμαχον.

*Δόξα. Ἦχος δ΄.*

Ἀσκητικοῖς ἐπιδοθεὶς ἀγωνίσμασιν, ἱεραρχικὴν ἀξίαν ἀπέλαβες, Ἱλαρίων Πατὴρ ἡμῶν Ὅσιε· τῷ γὰρ θείῳ θελήματι, σταθηρῶς ἑπόμενος, ἐπὶ τὴν καθέδραν τῶν Μογλενῶν ἀνῆλθες, τῶν αἱρετικῶν τὰς δυσιάτους πληγὰς ἰάσας, καὶ τὸν πιστὸν λαὸν τῇ ἀληθείᾳ στηρίξας, καὶ νῦν ὡς Ὅσιος καὶ Ἱεράρχης, Χριστὸν εὐαρεστήσας, πρεσβεύεις μετὰ τῶν Ἁγίων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σε δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Σκεῦος τῶν ἀρετῶν, ὢ Ἱλαρίων ὤφθης, δι᾽ ἐγκρατείας πόνων, ἐν Μογλενῶν τῇ πόλει, καὶ Ὀρθοδόξοις ἅπασι.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Λόγοις σου πειστικοῖς, ἐφώτισας τὸ σκότος, δεινῆς κακοδοξίας, τῶν Βογομίλων Πάτερ, ἱερωσύνης καύχημα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Ἵδρυσας καὶ Μονήν, ἐν τοῖς Προμάχοις πάλαι, τῶν θείων Ἀποστόλων, ἣν φύλαττε λιταῖς σου, νυνὶ ἐκ περιστάσεων.

*Δόξα. Τριαδικόν.*

Δόγμα ὑπερφυές, Τριάδος τῆς Ἁγίας, ὦ Ἱλαρίων μάκαρ, διαπρυσίως πᾶσιν, ἐν Μογλενοῖς ἐκήρυξας.

*Καὶ νῦν. Θεοτοκίον.*

Θύγατερ τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ ἡ Μήτηρ, ταῖς σωστικαῖς λιταῖς Σου, μὴ παύσῃ τοὺς Σοὺς δούλους, φρουροῦσα καὶ σκεπάζουσα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Προμάχων προστάτης Μογλενῶν τὸν Ἐπίσκοπον, καὶ τῶν Ὀρθοδόξων τὸ κλέος, Ἱλαρίωνα Ὅσιον, τιμήσωμεν ἐνθέως οἱ πιστοί, ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, μελῳδοῦντες εὐφροσύνως τὴν βιοτήν, αὐτοῦ τε καὶ τὰ θαύματα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ στερεώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ αὐτοῦ πᾶσιν ἰάματα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στʼ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς οὐράνιον ἄνθρωπον, ὡς ἐπίγειον ἄγγελον, ἐν τῇ γῇ βιώσαντα, σὲ γινώσκομεν, καὶ ὡς ἀστέρα πολύφωτον, τὰ σκότη αὐγάζοντα, Βογομίλων τὰ δεινά, Ἱλαρίων πανεύφημε, ἐπιστάμεθα, καὶ ποιμένα Χριστοῦ πνευματοφόρον, καὶ ὡς θεῖον Ἱεράρχην, ἀναγνωρίζομεν ἅπαντες.

Ἐκ παιδὸς τὴν ἀπάγουσαν, πρὸς ζωὴν τὴν αἰώνιον, τρίβον τὴν ἐπίπονον τοῦ Κυρίου σου, περιχαρῶς ὁσιώτατε, ὁδεύσας κατήντησας, εἰς τὸ ὕψος ἀρετῶν, Ἱλαρίων καὶ ἔλαμψας, ταῖς ἀκτῖσί σου, τὰς χορείας λαοῦ τῶν Ὀρθοδόξων, ἐν τῇ πόλει τῶν Μογλένων, καταβαλὼν τοὺς κακόφρονας.

Διʼ ὀνείρων ἡ μήτηρ σου, τὸ χαρμόσυνον ἄγγελμα, τοῦ σοῦ τόκου εἴληφε τῆς Θεόπαιδος, καὶ Ἀχριδῶν ὁ Εὐστάθιος, κατʼ ὄναρ τὸ μήνυμα, τῆς Παρθένου Μαριάμ, Ἱλαρίων ἐδέξατο, ὅπως τάχιστα, ἐν τῷ θρόνῳ τῆς πόλεως Μογλένων, ὡς ποιμένα θεοφόρον, ἀναβιβάσῃ σε Ἅγιε.

Τὸ τρισάγιον μέλισμα, νηπιόθεν ὑπέψαλλες, ὑπεμφαίνων Ὅσιε, θείαν κλῆσίν σου, ἐν γὰρ τῇ ὥρᾳ νεότητος, γηΐνων τὴν μερίμναν, τῶν ῥεόντων τὴν τρυφήν, τῶν γονέων ἀγάπησιν, τὰ εὐμάραντα,

καταλείψας τὸν βίον μοναζόντων, Ἱλαρίων ἐξελέξω, ἀδιαπτώτῳ φρονήματι.

Παννυχίδος ὁ σύζυγος, ἐραστὴς τῆς σεμνότητος, τῆς νηστείας φίλος ὁ ἀκριβέστατος, τῆς χαμευνίας ὁμόγνωμος, εὐχῆς ὁ ἀκόλουθος, θηρατὴς τῆς σιωπῆς, ἐγκρατείας συνέμπορος, τῇ ἀσκήσει σου, ἀνεφάνης θεόφρον Ἱλαρίων· διὸ πρέσβευε ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Ἐν Προμάχοις ἀνήγειρας, ἀρχιθύτα τῆς χάριτος, μοναζόντων οἶκον τὸν περιάκουστον, καὶ Ἀποστόλων τὸ ὄνομα, ἐπέδωκας Ὅσιε, τῷ σεμνείῳ τοῦ Χριστοῦ, καταρτίσας τὴν δίαιταν, καὶ τὴν ἄσκησιν, ἐγκρατείας τὸν τρόπον Ἱλαρίων, καὶ τὸν βίον ἀσκουμένων, Εὐαγγελίου διδάγμασι.

*Δόξα. Ἦχος πλ. β΄.*

Τῇ ἀσκήσει τοῦ Χριστοῦ προγυμνασθείς, καὶ ἐγκρατείας τῷ πυρί, τῆς σαρκὸς ἀναλώσας τὸ γήϊνον, ἐπὶ τὸ ἀκρότατον τῶν ἐφετῶν, τὸν νοῦν σου ἐστήριξας, Ἱλαρίων Πατὴρ ἡμῶν Ὅσιε· διό σε τῶν Ὀρθοδόξων τὸ πλῆθος, ἐγκωμίων ᾄσμασι μέλπουσι, ἐγκαρδίως λέγοντες· χαίροις, τῶν δογμάτων τοῦ Χριστοῦ ἡ εὔσημος κιθάρα, ἡ διαδραμοῦσα τῆς γῆς τὰ πέρατα· χαίροις, ὁ διασκεδάσας τοὺς βρόχους, καὶ τὰς ἐνέδρας τῶν αἱρέσεων, διδασκαλίας ὀρθότητι, καὶ θεολογίᾳ ἀκριβεστάτῃ· χαίροις, τῶν μοναστῶν οὐρανόφωτον ἄστρον, τὸ αὐγάζον πᾶσαν τὴν Ἐκκλησίαν· χαίροις, τῶν πιστῶν θερμὸς ἀντιλήπτωρ, καὶ προστάτης τῶν προσιόντων σοι ἑτοιμότατος. Ἀλλὰ

νῦν ταῖς σωστικαῖς σου πρεσβείαις, μὴ παύσῃ φρουρῶν τοὺς τιμῶντάς σε, ἀπὸ πάσης θλίψεως καὶ περιστάσεως.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς,

καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας

καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν

θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ΄.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ, ἡ πάλαι ποτὲ δοξασθεῖσα, τῶν Μογλενῶν Μητρόπολις, καὶ πᾶσα αὐτῆς ἡ περίοικος,

ὅτι ἐν σοὶ ἐτιμήθη, Ἀρχιερέων ἡ εὐπρέπεια, ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἱλαρίων. Οὗτος γάρ, ὡς ποιμὴν ἀληθής, τῶν Ὀρθοδόξων τὴν μάνδραν, διδαχαῖς ἐνθέοις περιφραξάμενος τὰ θυμοφόρα θηρία, τῶν Βογομίλων ἐστηλίτευσε, τοῦ Χριστοῦ τὴν ἀλήθειαν ἐβεβαίωσεν· Ὃν ἐκτενῶς ἐν οὐρανοῖς ἱκετεύει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Ὕπνον οὐκ ἔδωκας βλεφάροις, ἕως πρόῤῥιζον Πάτερ θεόφρον, τῶν παθῶν τὰ ζιζάνια ἀνέσπασας· ὅθεν διέπρεψας Ἱλαρίων, τῆς ἱερωσύνης τῇ στολῇ κατακοσμούμενος, ὡς ποιμὴν θεοκίνητος, ἐν τῇ πόλει Μογλενῶν· καὶ νῦν ἐν τοῖς δήμοις τῶν ἀσωμάτων συναριθμηθείς, μὴ παύσῃ δυσωπῶν Χριστὸν τὸν Θεόν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος γ΄.*

Φυγὼν τοὺς θορύβους τοῦ βίου, καὶ ἀποστήσας σεαυτὸν τῆς κοσμικῆς συγχύσεως, ἀξιοπρεπὲς γέγονας, τοῦ Πνεύματος ἐνδιαίτημα. Σὺ γὰρ ὡς δένδρον κατάκαρπον, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου σου ὤφθης, καθαρθεὶς τὴν διάνοιαν, ταῖς τῶν δακρύων πηγαῖς, τῇ συντόνῳ ἀσκήσει καὶ γονάτων κάμψεσι, καὶ ἀκλινῶς τὴν στενὴν τρίβον ἀνύσας, πρὸς τὴν ἄνω χορείαν κατέφθασας, πρεσβεύων μετὰ τῶν Ὁσίων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος δ΄.*

Ὁ λαμπρὸς καὶ θεάρεστος βίος σου, τοῖς πιστοῖς Ὀρθοδόξοις, τύπος ζωῆς, καὶ κανὼν πίστεως γέγονε·

τὴν ζωηφόρον γὰρ ἀμφιασάμενος νέκρωσιν, καὶ πτερούμενος τῷ θείῳ πόθῳ, τὸ κατ' εἰκόνα Θεοῦ διετήρησας ἄμεμπτον, καὶ Χριστοῦ τὸν ἄχραντον χαρακτῆρα ἐτίμησας· διὸ τὰ κέντρα τοῦ ἐχθροῦ συνέτριψας, τῆς πλάνης τὴν ζόφωσιν διεσκέδασας, καὶ Πατὴρ θεοπρόβλητος, ἐν Μογλενοῖς ἐχρημάτισας, παῤῥησίαν ἔχων πρὸς τὸν Θεόν· Ὃν καθικέτευε Ἱλαρίων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τὴν σάρκα ἀνδρικῶς καθυποτάξας τῷ πνεύματι, ὁλοτρόπῳ διαθέσει, τὸν Σταυρὸν τοῦ Κυρίου σου, Ἱλαρίων ἐβάστασας, καὶ σωφρόνως τὸ πέλαγος, διανύσας τῆς ζωῆς, κλῆρον ἀκήρατον ἀπείληφας τὴν ἀΐδιον ζωήν, σκηνὰς οὐρανίους κατοικήσας σεβασμιώτατε· ὅθεν οὖν καταξιωθείς, δόξης τῆς ἀφθάρτου, τῇ Τριάδι παρίστασαι, ἐκτενῶς παριστάμενος, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν... Θεοτοκίον*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Εἲς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις τῶν Μογλενῶν ὁ ποιμήν, ἡ θεοκίνητος κιθάρα τοῦ Πνεύματος, συνήγορος εὐσεβείας, αἱρετικῶν ἐλατήρ, ὁ σαφῶς κηρύξας τὴν ἀλήθειαν, θαυμάτων ὁ πρόξενος, ἐγκρατείας ὁ σύζυγος, τῶν

μοναζόντων ὁ κανὼν ἀκριβέστατος, θεοπρόβλητος, τῶν θυτῶν προϊστάμενος, ὄργανον θείας χάριτος, ἀνὴρ αὐστηρότατος, ὁ ἐκδιώξας τοὺς λύκους, ἐκ τῆς αὐλῆς τοῦ Κυρίου σου· ἡμᾶς Ἱλαρίων, ταῖς λιταῖς σου μὴ ἐλλίπῃς, φρουρῶν ἑκάστοτε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Χαίροις ὁ γεννηθεὶς θαυμαστῶν, τῶν σῶν τοκέων, εὐκλεέστατον καύχημα, χαράν τε καὶ εὐφροσύνην, ὁ διαχέων πιστοῖς, Μογλενῶν καθέδρας, θεῖος πρόεδρος, δομήτωρ πανεύφημος, Ἱλαρίων καὶ στήριγμα, τοῦ Κοινοβίου τῶν Προμάχων γενόμενος, τὸ πολύτιμον, Παρακλήτου ἀλάβαστρον, ῥεῦμα τὸ ἀκατάσχετον, σημείων τῆς χάριτος, καὶ ἀναγκῶν Ὀρθοδόξων, ἡ ὀξυτάτη βοήθεια· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις σημειοφόρε Χριστοῦ, ὁ ἀναβλύσας ἐκ τῶν θείων λειψάνων σου, ἀρώματα ὑπὲρ φύσιν, πιστοποιοῦντα σαφῶς, τῆς σῆς πολιτείας ἁγιότητα, σφοδρῶς γὰρ ἀοίδιμε, τὴν πτωχείαν ἑλόμενος, τῶν οὐρανίων θησαυρὸν τὸν ἀσύλητον, Πάτερ εἴληφας, ἐκ χειρῶν τοῦ παντάνακτος· ὅθεν ἀφθόνως ἔπλησας, χαρίτων μονάζοντας, καὶ τὸν λαὸν Ἱλαρίων, τῶν Μογλενῶν τὸν Ὀρθόδοξον, καὶ νῦν μὴ παρίδῃς, τὰ αἰτήματα διδόναι, τοῖς ἀνυμνοῦσί σε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ὅσιε τοῦ Χριστοῦ Ἱεράρχα, ῥήξας τὰ δεσμά, τῆς φιλίας τοῦ κόσμου, ἐπὶ τὴν ὁδὸν τὴν εὐθεῖαν, ἀκλινῶς ἐβάδισας, τὰς προσβολὰς γὰρ τῶν παθῶν νεκρώσας, τὰς μηχανὰς τοῦ ἐχθροῦ σκεδάσας, καὶ περιβληθεὶς νομίμως, τῆς ἀπαθείας τὴν στολήν, γέγονας ὄντως, τῆς ὑπερθέου Τριάδος, καθαρὸν ἐνδιαίτημα· διὸ παῤῥησίαν ἔχων πρὸς Θεόν, ἱκέτευε πάντοτε, ὑπὲρ τῶν ἑορταζόντων, ᾀσματικῶς τὴν ἐτησίαν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Προμάχων προστάτης Μογλενῶν τὸν Ἐπίσκοπον, καὶ τῶν Ὀρθοδόξων τὸ κλέος, Ἱλαρίωνα Ὅσιον, τιμήσωμεν ἐνθέως οἱ πιστοί, ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, μελῳδοῦντες εὐφροσύνως τὴν βιοτήν, αὐτοῦ τε καὶ τὰ θαύματα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ στερεώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ αὐτοῦ πᾶσιν ἰάματα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀσκήσει καὶ χάριτι ἐν Κοινοβίῳ ἀνδρῶν, ἀνῆλθες πανόσιε εἰς κορυφὴν ἀρετῶν, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὅθεν τὴν διπλοΐδα, ἐνεδύθης τὴν θείαν, φέρων τῷ σῷ Δεσπότῃ, τὴν φρικώδη θυσίαν· διό σου ὑμνολογοῦμεν, μνήμην τὴν πάντιμον

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Παρθένε πανάμωμε Χριστιανῶν ἡ ἐλπίς, ἀῤῥήτως κυήσασα τὸν Ποιητὴν τοῦ παντός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλυσας τὴν κατάραν, τῆς προμήτορος Εὔας, ἄνεσιν δὲ παρέσχες, τῶν ἀνθρώπων τῷ γένει· διό Σου τὴν προστασίαν, πάντες αἰτούμεθα.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Τὴν πίστιν τοῦ Χριστοῦ, Ἱλαρίων τοῖς λόγοις, ἐτράνωσας σαφῶς, καταλύσας τὴν πλάνην, γαυρίαμα τὸ ἄνομον, Βογομίλων πανεύφημε, καὶ τὰ πρόβατα, ἀπολωλότα ἐκ ζάλης, ἐπανήγαγες, ἐπὶ τὴν μάνδραν Κυρίου, ἣν φύλαττε πάντοτε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὀχύρωμα λαμπρόν, ἀκατάσειστον τεῖχος, λιμὴν ὁ γαληνός, ζωοπάροχος κρήνη, βοήθεια ἡ ἄμαχος, ἰατρεῖον ἀδάπανον, καὶ κραταίωμα, Ὀρθοδόξων ἀνθρώπων, τῇ λοχείᾳ Σου, ἀναδειχθεῖσα Παρθένε, ἡμᾶς περιφρούρησον.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.*

Θείᾳ χάριτι, ἐπτερωμένος, πᾶσαν ἔσβεσας, σαρκὸς τὴν φλόγα, Ἱλαρίων Ἱεράρχα μακάριε, σὺ γὰρ δοχεῖον γενόμενος πάντιμον, ἐνεργῶν Τρισηλίου Θεότητος, ἀνελύληθας, πρὸς ὕψωμα τῆς θεώσεως· διό σου τὴν πρεσβείαν ἐξαιτούμεθα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἅπας ἥττηται, βροτῶν ὁ λόγος, πρὸ τῆς δόξης Σου, Παρθενομῆτορ, ἀνυμνῆσαι τὰ πολλά Σου χαρίσματα· ὅθεν μολπὴν ἱκεσίαις οἱ δοῦλοί Σου, ἐν ταπεινώσει πολλῇ Σοι προσάγομεν, ἱκετεύοντες, ταῖς θείαις ἱκετηρίαις Σου, ῥυσθῆναι τῶν παγίδων τοῦ ἀλάστορος.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, ποιμαντικαῖς διαπρέψας ἀρεταῖς, τῆς πλάνης τὴν ζόφωσιν διεσκέδασας, καὶ κανὼν ἀκριβέστατος, ἀρχιερέων Χριστοῦ ἐχρημάτισας, σὺ γὰρ ἀπέλασας, τῶν αἱρέσεων θῆρας, βακτηρίᾳ τῶν θεοπνεύστων σου λογίων, εὐσεβῶν περιτείχισμα γέγονας, καὶ τῇ Ἐκκλησίᾳ ὤφθης, στῦλος ἀκλόνητος, ἣν Ἱλαρίων πανάριστε, μὴ παύσῃ εὐχαῖς σου, περιφρουρῶν καὶ φωτίζων, ὡς ἀστὴρ οὐρανόφωτος.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:*Ἱλαρίων, δός μοι χαρὰν τῆς καρδίας. Ἰωήλ.*

*ᾨδὴ α’. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἱλάσθητι Δέσποτα, παμβασιλεῦ τῷ ἱκέτῃ Σου, καὶ δός μοι βοήθειαν, μέλψαι τὸν Ὅσιον, Ἱλαρίωνα, Ἐπίσκοπον Μογλαίνων, πιστῶν ἐγκαλλώπισμα, τὸ πολυέραστον.

Λαὸν τὸν Ὀρθόδοξον, τῇ θεοῤῥήμονι γλώττῃ σου, φωτίσας κατηύθυνας, πρὸς τὴν ἀλήθειαν, καὶ τὴν

αἵρεσιν, βροτῶν τῶν κακοφρόνων, σκεδάσας πανεύφημε, ὡς ἄστρον ηὔγασας.

Ἀνύσας τὸν βίον σου, εὐσεβοφρόνως τοὺς στάχυας, θερίζεις μακάριε, τῆς θείας χάριτος, ἐν σκηνώμασιν, Ὁσίων Ἱλαρίων, ὧν πάντων ἐζήλωσας, τὰ κατορθώματα.

*Θεοτοκίον.*

Ῥαθύμως βιώσαντες, καὶ συμφυῶς τῇ φαυλότητι, Παρθένε ἀνύμφευτε, πολιτευσάμενοι, καταφεύγομεν, πρὸς Σὲ ἀναβοῶντες, πρεσβείαις Σου τάχιστα, ἡμᾶς ἐξάρπασον.

*Ὠδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.*

Ἰδούσα ἡ μήτηρ σου κατ' ὄναρ, Μητέρα τὴν πάναγνον Χριστοῦ, τῆς ἀτεκνίας ἔπεσον, δεσμὰ τὰ πολυθρήνητα, καὶ ἐν γαστρὶ συνέλαβε, σὲ τῶν βροτῶν τὸ ὡράϊσμα.

Ὡς γόνος τοκέων φιλοθέων, ἐτράφης ἐν γάλακτι Χριστοῦ, καὶ ἐκ νηπίων Ὅσιε, τὸν νοῦν Χριστοῦ κτησάμενος, ἐσχόλαζες δεήσεσι, καταθαμβῶν τοὺς συνόντας σοι.

Ναὸς χρηματίσας Ἱλαρίων, τοῦ Πνεύματος γέγονας ποιμήν, τῶν μοναστῶν φιλόπονος, ὡς ἄνθρωπος ἰσάγγελος, καταβαλὼν τὸ φρόνημα, τῶν σαρκικῶν ἐξεργέσεων.

*Θεοτοκίον.*

Δαυῒδ ὁ προπάτωρ Θεοτόκε, προεῖδε λαμπρῶς ἐν οὐρανοῖς, δεξιοκαθεδρίαν Σου· διό Σε ἱκετεύομεν,

ταῖς Σαῖς λιταῖς τοὺς δούλους Σου, ἐν τοῖς κινδύνοις βοήθησον.

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἱεραρχίας σου, τὰ προτερήματα, τὰ περιάκουστα, πάντες ἐθαύμασαν, ὅτι τὴν σπεῖραν τοῦ ἐχθροῦ, διέλυσας Ἱλαρίων, σὺ γὰρ τὴν σκοτόμαιναν, ἐκδιώξας αἱρέσεων, τῷ φωτὶ τῆς πίστεως, τῶν βροτῶν τὰ συστήματα, ἐλάμπρυνας Χριστοῦ ποιμενάρχα· ὅθεν τιμῶμέν σε ἀξίως.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Στῆσον τὸν κλύδωνα, παθῶν μου πάναγνε, καὶ τὴν νοσοῦσάν μου, καρδίαν ἴασαι, καὶ ῥαθυμίας νυσταγμόν, ἀπέλασον ταῖς εὐχαῖς Σου, καὶ πυρὸς φλογίζοντος, καὶ τῆς κρίσεως ῥῦσαί με, ὅταν ἐν τῷ βήματι, εὑρεθῶ τοῦ παντάνακτος, πρὸς Σὲ γὰρ καταφεύγων βοῶν Σοι· σῶσόν με Μῆτερ Θεοτόκε.

*Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ἀκλινῶς ὁδοιπορήσας τὴν ὁδὸν τῆς ἀσκήσεως, μάκαρ Ἱλαρίων, πᾶσαν ἡδυπάθειαν ἔσβεσας, ὑποπιάζων τὸ σῶμα ὡς ἰσάγγελος· διὸ ἔτυχες, μακαριότητος ἄνωθεν.

Συστροφὰς τοῦ πτερνοσκόπου καὶ ἀρχαίου ἀλάστορος, Πάτερ Ἱλαρίων, ὡς ἱστὸν ἀράχνης διέλυσας, ταῖς σαῖς εὐχαῖς καὶ νηστείαις καὶ ταῖς δάκρυσι, κομισάμενος, θαυματουργίας ἀντίδοσιν.

Μεμνημένοι τῶν σημείων ἃ ἐποίησας Ἅγιε, τῇ Χριστοῦ δυνάμει, σήμερον τελοῦμεν τὴν μνήμην σου, ἐπικαλούμενοι πάντες τὴν πρεσβείαν σου, ὅπως φύγωμεν, ἐξ ἀτραπῶν τῶν αἱρέσεων.

*Θεοτοκίον.*

Ὁ πηξάμενος τὰ πάντα ὡς Θεὸς παντοδύναμος, καὶ ἡμῶν τὸ γένος, πλάσας ἐκ χοὸς ὡς φιλάνθρωπος, ἐκ τῆς νηδύος Σου τίκτεται ὡς ἄνθρωπος, προμηθούμενος, τὴν τῶν βροτῶν ἀναμόρφωσιν.

*ᾨδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.*

Ἰνδάλματα ἄτοπα, τοῦ ἀρχεκάκου ὄφεως, ἐκ τοῦ σοῦ νοὸς ἐξοστρακίσας, παθῶν αἰσχίστων, τοῦ μολυσμοῦ τῆς σαρκός, πάσης ἡδονῆς δαιμονικῆς, γέγονας ἀνώτερος, Ἱλαρίων πανεύφημε.

Χαρίτων τοῦ Πνεύματος, ἐπιτυχὼν μακάριε, χάριτας παρέχεις τοῖς ἀνθρώποις, τοῖς προσιοῦσι τῇ σῇ ἁγίᾳ Μονῇ, καὶ ἐπιζητοῦσι ταπεινῶς, τῆς ψυχῆς τὰ πρόσφορα, Ἱλαρίων πρεσβείαις σου.

Ἀῤῥήτως τὸ ἄπορον, τῆς σιτοδείας ἤνοιξας, Πάτερ Ἱλαρίων Ἱεράρχα, ἐν Κοινοβίῳ τῶν φιλοχρίστων ἀνδρῶν, λύσας τὴν κατήφειαν αὐτῶν, καὶ χαρὰν δωρούμενος, τῷ λαῷ τῷ σῷ θαύματι.

*Θεοτοκίον.*

Ῥυθμίζουσα πάναγνε, καὶ ὁδηγοῦσα πάντοτε, σκέπουσα φρουροῦσα ἀοράτως, ποδηγετοῦσα πρὸς τὴν ὁδὸν τοῦ Χριστοῦ, πάσας τὰς χορείας τῶν πιστῶν, μὴ ἐλλίπῃς Δέσποινα, ταῖς ἁγίαις πρεσβείαις Σου.

*ᾨδὴ στ'. Τὴν θείαν ταύτην.*

Ἀγγέλων Πάτερ συνέστιος, ἀγάπῃ πρὸς Χριστὸν τὸν φιλάνθρωπον, καὶ πρὸς τὸν ἄνθρωπον, ὢ Ἱλαρίων γενόμενος, ἀξιοτίμως ἤρθης, πρὸς τὰ οὐράνια.

Νεώσας πᾶσαν τὴν ἄρουραν, ψυχῆς σου Ἱλαρίων πανόσιε, δακρύων χεύμασι, καὶ τῷ ἀρότρῳ ἀσκήσεως, πολλοὺς καρποὺς ἐδρέψω, τῆς ταπεινώσεως.

Τειχίσας πᾶσαν τὴν ποίμνην σου, ἐν πόλει Μογλενῶν ἀξιάγαστε, τοῖς θείοις λόγοις σου, τῶν Βογομίλων κατήργησας, διδασκαλίας δόγμα, τὸ ἀρνησίχριστον.

*Θεοτοκίον.*

Ἡ θεία κλῖμαξ ὑπάρχουσα, δι' ἧς ἐπὶ τῆς γῆς καταβέβηκεν, ἑκὼν ὁ Ὕψιστος, πρὸς εὐφροσύνην ἀνώλεθρον, τῶν εὐσεβῶν τὰ πλήθη, Μῆτερ ἀνήγαγε.

*Κοντάκιον. Ἡ Παρθένος σήμερον.*

Ἱεράρχης ἔνθεος, καὶ ἀσκητὴς θεοφόρος, Ἱλαρίων Ἅγιε, τῇ πολιτείᾳ σου ὤφθης· πλάνην γάρ, καταπατήσας τῶν Βογομίλων, ποίμνην δέ, τῶν Ὀρθοδόξων ποδηγετήσας, τῆς ὀρθότητος δογμάτων, ἐδείχθης φύλαξ, ὁ ἀκατάβλητος.

*Ὁ Οἶκος.*

Ἐσάλευσας τῇ ῥώμῃ, τῶν Ὀρθοδόξων διδαχῶν, τῆς κακοδαίμονος αἱρέσεως τὸ ὅρος, Ἱλαρίων Πατὴρ ἡμῶν Ὅσιε· ὕπνον γὰρ οὐκ ἔδωκας βλεφάροις, ἕως πρόῤῥιζον ἀνέσπασας, τῶν Βογομίλων τὴν οἰκτρὰν

πλάνην, ἱερολογίαις σου ἐνθέοις, ἀναδειχθεὶς ἀληθείας ἑδραίωμα, πίστεως ἔρεισμα, εὐσεβείας συνήγορος, καὶ ὀρθότητος δογμάτων, φύλαξ ὁ ἀκατάβλητος.

*Συναξάριον.*

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ὁσίου Ἱλαρίωνος ἐπισκόπου Μογλένων, τῶν εὑρισκομένων ἐν τῇ Ἀριδαίᾳ.

*Ὅσιος ὁμοῦ καὶ ποιμενάρχη θεῖος·*
*ἐν τοῖς Μογλενοῖς ἐφάνης Ἱλαρίων.*
*Εἰκάδι πρώτῃ Ἱλαρίων λίπεν βίον ὁσίως.*

*ᾨδὴ ζ’. Οὐκ ἐλάτρευσαν.*

Σὲ τιθέμενοι ἐλπίδαν πᾶσαν Ἅγιε λαὸς φιλόθεος, καὶ ἀσκουμένων χορός, λυθῆναι ἐδέοντο, ταῖς σαῖς δεήσεσι, πρὸς τὸν Κύριον, τῆς φοβερᾶς ἐλλείψεως, Ἱλαρίων τῶν σιτίων.

Κρατυνόμενος ἰσχύϊ τοῦ παντάνακτος τὰ κακουργήματα, αἱρετιζόντων ἀνδρῶν, ἀπέκρουσας ἄριστα, αὐτῶν τὴν διάθεσιν, φανερούμενος, τὴν φονικὴν πανόσιε, Ἱεράρχα Ἱλαρίων.

Ἀκατάπαυστον τὸ μῦρον ἐκχεόμενον ἐκ τῶν ὀμμάτων σου, ὢ θεῖον θαῦμα Θεοῦ, παρέχει δωρήματα, τοῖς προσκυνοῦσί σου, θεῖα λείψανα, ἐν τῇ Μονῇ σου Ὅσιε, τῶν Ἁγίων Ἀποστόλων.

*Θεοτοκίον.*

Ῥύπον ἔκπλυνον Μαρία ἁμαρτάδων μου ταῖς δυσωπείαις Σου, πρὸς τὸν Υἱόν Σου ταχύ, καὶ δός μοι

τὴν ἄνεσιν, ψυχῆς καὶ σώματος, Σὲ γὰρ ἔχομεν, οἱ γηγενεῖς προστάτιδα, ἀκαταίσχυντον Παρθένε.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Δύναμις στεῤῥὰ τῶν Ὀρθοδόξων, ἐν πόλει τῶν Μογλενῶν τὰ θεία ῥήματα, τῆς διδασκαλίας σου, Πάτερ ἀξιάγαστε, ἀναδειχθέντα ἔτρωσαν, ἐχθρὸν τὸν δόλιον, ἀπάτης, τῆς ἀρχαίας πατέρα· ὅθεν σε τιμῶμεν, ἀξίως Ἱλαρίων.

Ἴθυνας πρὸς τρίβους αἰωνίους, ἐν ποίμνῃ τοῦ Κοινοβίου τοὺς μονάζοντας, τύπον δοὺς πρὸς μίμησιν, σεαυτὸν πανεύφημε, καὶ θεϊκοῖς διδάγμασιν, αὐτῶν τὴν θέλησιν, γυμνάσας, πρὸς τὸν κρείττονα βίον, γέγονας ἀλείπτης, αὐτῶν πνευματοφόρος.

Ἄνωθεν τὴν μάνδραν ἐν Προμάχοις, φροντίζων καὶ ἐποπτεύων ὡς φιλόστοργος, ἧκες ἐν ὀνείρατι, Πάτερ καὶ διήλεγξας, τοὺς ῥαθυμοῦντας λόγοις σου, ὅπως σχολάζωσι, νηστείαις, καὶ ἀσκήσεσι Πάτερ, φεύγοντες ἀτόπων, παθῶν ἐπιθυμίας.

*Θεοτοκίον.*

Σώτειρα Παρθένε Θεοτόκε, τοῦ γένους τῶν γηγενῶν τῷ θείῳ τόκῳ Σου, πάντες Σε γινώσκοντες, χαῖρε ἀνακράζομεν, τῶν σκυνθρωπῶν ἀναίρεσις, χαῖρε ἀνάκλησις, κατάρας, τῆς ἀρχαίας τῆς Εὔας, χαῖρε τῶν κακούργων, δαιμόνων καθαιρέτις.

*Ὠδὴ θ’. Ἅπας γηγενής.*

Ἵνα τοῦ φωτός, Χριστοῦ τῆς λαμπρότητος, τύχῃς θεόληπτε, χαίρων προσεχώρησας, πρὸς μοναζόντων, θεῖα σκηνώματα, σαὐτὸν ἀπαρνησάμενος, τοῦ κόσμου θέλγητρα, τὰ ἡδέα, χαμαιζήλων ἅπαντα, Ἱλαρίων καὶ πράγματα ῥέοντα.

Ὤφθης ἐπὶ γῆς, ποιμὴν θεοπρόβλητος, τοῖς προσιοῦσί σοι· ὅθεν καὶ τοῖς ἴχνεσι, τῆς ἐναρέτου ζωῆς σου ὥδευσε, τῶν Μογλενῶν τὸ πλήρωμα τὸ εὐσεβέστατον, Ἱλαρίων, καὶ χορεία πάνσεπτος, μοναζόντων ἀνδρῶν ἀξιότιμε.

Ἤνυσας καλῶς, τὸν ἔνθεον βίον σου· διὸ καὶ γέγονας, Ἱλαρίων Ὅσιε, ἐπουρανίων δήμων ὁ μέτοχος, καθικετεύων πάντοτε, Χριστὸν τὸν Κύριον, τοῦ ῥυσθῆναι, τῆς φρικτῆς κολάσεως, τοὺς ὑμνοῦντας ἐν πόθῳ τὴν μνήμην σου.

*Θεοτοκίον.*

Λάμπουσα φωτί, Παρθένε πανάχραντε, τοῦ θείου τόκου Σου, φαῦσον τῇ λαμπρότητι, τῶν πρεσβειῶν Σου τὴν ἀμαυρότητα, ἐμῆς ψυχῆς καὶ δώρησαι, αὐγὴν τῆς χάριτος, ὅπως μέλπω, εὐσεβῶς τὰ ᾄσματα, καὶ τοὺς ὕμνοις τῆς Σῆς ἀγαθότητος.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ὁσίως εὐηρέστησας, Χριστῷ τῷ πανοικτίρμονι, ἐπιδοθεὶς τῇ ἀσκήσει, τῇ προσευχῇ καὶ νηστείᾳ, ὡς ἄγγελος ἐπίγειος, ὦ Ἱλαρίων πάντιμε· διὸ τῆς θείας

χάριτος, ἀναδειχθεὶς τὸ ταμεῖον, τοὺς σὲ ὑμνοῦντας πλουτίζεις.

*Θεοτοκίον.*

Δεινῶν περικυκλούντων με, Παρθενομῆτορ λύτρωσαι, ταῖς σωστικαῖς Σου πρεσβείαις, πρὸς τὸν Υἱὸν καὶ Θεόν Σου, καὶ φύλαξόν με ἄτρωτον, ἐκ πάσης περιστάσεως, παγίδων τοῦ ἀλάστορος, ἀῤῥωστημάτων σαρκός μου, καὶ ψυχικῶν ἁμαρτάδων.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ, Ἱλαρίων Ὅσιε, τῶν Μογλενῶν ὁ ποιμήν, ὁ καλὸς καὶ περίδοξος, πλέον πάντων γέγονας, βιοτῇ τῇ ἁγίᾳ σου, τοῖς σοῖς γὰρ λόγοις, πάντας ἐστήριξας, πιστοὺς ἐμμένειν, τῇ ἀληθείᾳ Χριστοῦ, καὶ τῆς αἱρέσεως, κακοδόξων ἔστησας, τῆς διδαχῆς, ῥεῦμα τὸ ψυχόλεθρον, μακαριώτατε.

Πάτερ, Ἱλαρίων ἔνδοξε, ὑποπιάσας σφοδρῶς, τῆς σαρκὸς ἐπανάστασιν, ὡς ἀστὴρ ἀνέτειλας, ἐν τοῖς χρόνοις σου πάμφωτος, καταπυρσεύων, τοῖς σοῖς χαρίσμασι, τοὺς ἀσκουμένους, καὶ τὸν λαὸν τοῦ Θεοῦ· ὅθεν τὴν μνήμην σου, ἐκτελοῦντες σήμερον ᾀσματικῶς, τῆς ψυχῆς τὰ πρόσφορα, αἰτοῦμεν ἅπαντες.

Πάτερ, Ἱλαρίων κάλλιστε, θαυματουργίαις ταῖς σαῖς, τὸν λιμὸν ἐξωστράκισας, καὶ τὴν θλῖψιν ἔλυσας, τοῦ λαοῦ σου θεόληπτε, καὶ μετὰ θάνατον ἐξ ὀμμάτων σου, μῦρον χαρίτων ἀῤῥήτως ἔβλυσας,

παραμυθούμενος, ὡς Πατὴρ φιλόστοργος τοὺς μοναχούς, καὶ πιστῶν συστήματα, τὰ πολυάριθμα.

Πάτερ, Ἱλαρίων Ἅγιε, οἰκοδομήσας Μονήν, ἐν Προμάχοις περίβλεπτον, τοῦ ἐχθροῦ σεσάλευται, τὸ σαθρὸν οἰκοδόμημα, καὶ ἀληθείᾳ καθοπλισάμενος, τῶν μοναζόντων τὸ πλῆθος ἤγαγες, πρὸς τὰ οὐράνια, βίου ὑποτύπωσιν καταλιπών, σεαυτὸν ἀοίδιμε, τοῖς προσιοῦσί σοι.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Ἱεραρχικὴν καθέδραν ἐσχηκώς, πνευματικὸν ἀγῶνα ἠγωνίσω εὐαγγελικῶς, Πάτερ Ἱλαρίων μακάριε, τὸν γὰρ Σταυρὸν τοῦ Κυρίου, ἐπ᾽ ὤμων ἀναλαβών, ὀπίσω ὁλοκαρδίως ἔδραμες, τοῦ Κυρίου Ἰησοῦ ὡς μαθητὴς γνήσιος, καὶ τὸν σπόρον τῆς χάριτος, εἰς ἑκατὸν καρποφορήσας, τῶν πάλαι Ὁσίων, ὤφθης ἰσότιμος· μεθ᾽ ὧν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Προμάχων θεῖος φρουρός, καὶ τῶν Ὀρθοδόξων, ἐπιστάτης καὶ Μογλενῶν, πόλεως ὁ μέγας, Ἐπίσκοπος Κυρίου, παμμάκαρ Ἱλαρίων, ἡμῶν τὸ καύχημα.

